www.tezaurliturgic.ro

Ἱλαρίωνος Μοναχοῦ

# Κανὼν εἰς τὸν Ὅσιον καὶ Θεοφόρον Σάββαν τὸν ἡγιασμένον

Ἦχος πλ.δ'

Ἅγιον Ὄρος

2018

# Κανὼν εἰς τὸν Ὅσιον καὶ Θεοφόρον Σάββαν τὸν ἡγιασμένον, Παρακλητικός, οὗ ἡ ἀκροστιχίς, «Σάββᾳ τῷ ἡγιασμένῳ δέομαι Σ.Ξ.», ἐν δὲ τοῖς Θεοτοκίοις, «Ἱλαρίων Μ.»

## Ἦχος πλ.δ'.

*Ὠιδὴ Α' Ὑγρὰν διοδεύσας.*

Σοὶ Πάτερ ἐν πίστει ὁ ἐναγής, Σάββα καταφεύγω, ἐκκαλύπτων μου τῶν δεινῶν, σειρὰς τῶν ἀμέτρων μου πταισμάτων, ὅπως τῆς σῆς ἐπισκέψεως τύχοιμι.

Ἀρχήν μοι ποιῆσαι Πάτερ τῇ σῇ, δώρησαι ἰσχύει τῇ ἐκφάνσει καὶ τὴν ψυχήν, ὡς ἄλλος Δαβὶδ συντετριμμένην, ἔχειν καὶ πνεῦμα ταπεινώσεως.

Βαράθρῳ ὁ δύστηνος ἐμπεσών, τῶν ἁμαρτιῶν μου, Σάββα Πάτερ ταῖς προσευχαῖς, ταῖς σαῖς ταχὺ τούτου ἐξελοῦ με, ὅπως σε ῥύστην ἐπιγράφομαι.

*Θεοτοκίον.*

Ἰδέτω Παρθένε τὸ εὐμενές, καὶ ἵλεον ὄμμα, τὸ σὸν Κόρη καὶ τῶν πολλῶν, ἀθέσμων μου ἔργων πανευσπλάγχνως, τὴν παῦλαν τάχιόν μοι δώρησαι.

*Ὠιδὴ Γ΄ Σὺ εἶ τὸ στερέωμα.*

Βίον ὅλως ἔκλυτον, διαπερῶν Πάτερ ὅσιε, σύ με ταῖς σαῖς, σθένωσον πρεσβείαις, μετανοίας ἀπάρξασθαι.

Ἀσχημόνως δέδειγμαι, βεβιωκὼς τοῖς πλησίον μου, σύ με ταχύ, Σάββα αἰδημόνως, βιωτεύειν ἐνίσχυσον.

Τρέμω ὁ ταλαίπωρος, τὸν διχασμὸν Πάτερ ὅσιε, ἔρημος ὢν, καλῶν πάντῃ ἔργων, ἄρξειν τούτων σθένωσον.

*Θεοτοκίον.*

Λύμης με Πανάχραντε, τῆς κατακρίσεως λύτρωσαι, τῆς φοβερᾶς, καὶ δικαίας ὅπως, λυτρωθῶ κατακρίσεως.

*Ὠιδὴ Δ΄ Εἰσακήκοα Κύριε.*

Ὢ φρικώδους πωρώσεως, ὢ τῆς ἀναλγήτου Πάτερ καρδίας μου, ταῖς εὐχαῖς σου σύ με ὤθησον, πρὸς Θεοῦ ἐνθύμησιν σωτήριον.

Ἡ πολλή σου πρὸς Κύριον, παρρησία Ὅσιε ὡς ἰσχύουσα, πίστει Σάββα σοὶ κατέφυγον, τοῦ τυχεῖν ἐλέους αὐτοῦ τάχιον.

Γῆν τὴν ἄνικμον ἔδειξας, καρποφόρον μάκαρ ταῖς ἱκεσίαις σου, καὶ ψυχῆς μου γῆν

τὴν ἄκαρπον, δεῖξον εὐκαρποῦσαν
παναοίδιμε.

*Θεοτοκίον.*

Αἰσχυνθῆναι ὁ ἄθλιος, μέλλω ἐν τῇ
κρίσει ποιῶν τὰ ἄθεσμα, Θεοτόκε πρὸς
μετάνοιαν, πρὸ τῆς τελευτῆς μου
καθοδήγησον.

*ᾨδὴ Ε΄ Φώτισον ἡμᾶς.*

Ἴασιν σοφέ, ψυχικῶν καὶ τῶν τοῦ
σώματος νόσων Σάββα δώρησαι σαῖς εὐχαῖς,
καὶ εἰρηναίως διάγειν με καταξίωσον.

Ἄγγελος ὡσεὶ βιωτεύσας Πάτερ ὅσιε,
ἡμῖν ὑπολιμπάνων ὑπογραμμόν, τοῖς ἴχνεσί
σου, εὐχαῖς σου με Σάββα ἴθυνον.

Σῶμα ὡσπερεί, τάφον ἔνδον νεκρὸν
φέροντα, ψυχήν μου θεοφόρε ἡ σή, καθικεσία
πανόσιε ζωοσάτω με.

*Θεοτοκίον.*

Ῥῶσον ἀγαθή, ἀθεμίτου ἔθους κάκωσιν,
πρὸ τελευτῆς εὑρεῖν με ἀπαλλαγήν, ἡ τὸν
Σωτῆρα τοῦ κόσμου, Ἁγνὴ κυήσασα.

*ᾨδὴ ΣΤ΄ Χιτῶνά μοι παράσχου.*



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ματαίοις ὁ ἀσύνετος ἐνδούς, Σάββα ὅλως γέγονα, σάρξ τῆς κολάσεως, τοῦ ἐλθεῖν με ἐνδυνάμωσον εἰς ἔννοιαν.

Ἐκ πάσης λυπηρῶν ἐπαγωγῆς, τὴν ψυχήν μου ἐξελοῦ ταῖς ἱκεσίαις σου, πρὸς τὸν Δεσπότην καὶ Θεὸν τὸν φιλάνθρωπον.

Ναὸν τὸν τῆς ψυχῆς μου ἀδεῶς, ἀθεμίτοις πράξεσιν ἐμόλυνα, ταῖς εὐχαῖς σου με Σάββα ἀποκάθαρον.

*Θεοτοκίον.*

Ἰσχύεις ὅσα βούλει ὡς Θεοῦ, Μήτηρ ὑπάρχουσα, διὸ τῇ ἰσχύει σου, διοδεύειν με, πρὸς μετάνοιαν ἴθυνον.

*Ὠιδὴ Ζ΄ Παῖδες Ἑβραίων.*

Ὡς τοῦ Χριστοῦ θεράπων Σάββα, παμμακάριστε αὐτῷ μὴ διαλείπης, τοῦ πρεσβεύειν ἀεί, τοῦ δοῦναί μοι τὴν λύσιν, πταισμάτων ὧν διέπραξα, τὸν καθ’ ἅπαντά μου βίον.

Δούλειον Πάτερ μοι παράσχου, ἁμαρτίας τὸν ζυγὸν ἀποβαλέσθαι, καὶ ἀντέχειν Χριστοῦ χρηστὸν τὸν τοῦ Σωτῆρος, τὸν ἐλαφρόν μοι ποίησον, θεοφόρε ταῖς εὐχαῖς σου.

Ἔχων τὸν φαῦλον ἐν καρδίᾳ, τῆς λαγνείας λογισμόν με τυραννοῦντα, τῆς σῆς

Σάββα θερμῶς, δέομαι βοηθείας, ὅπως ἀπαλλαγήσωμαι, τούτου τάχιον ὁ τάλας.

*Θεοτοκίον.*

Ὡς τῶν νοσούντων ἰατρεῖον, τῶν ψυχῶν καὶ τῶν σωμάτων οὖσα Κόρη, τῷ κατ᾽ ἄμφω δεινῶς, νοσοῦντι σῷ ἐλέει, τῷ σὲ θερμῶς τὴν ἴασιν, δεομένῳ μοι παράσχου.

*Ὠιδὴ Η' Τὸν Βασιλέα τῶν οὐρανῶν.*

Ὁ συνεχόμενος θλίψεσιν ἀφορήτοις, πρὸς σὲ Πάτερ προσφεύγων ἱκετεύω, τυχεῖν τούτων λύσιν τῇ σῇ ἐπιστασίᾳ.

Μεμακρυσμένον με τοῦ Θεοῦ ὄντα Σάββα, ὡς δουλεύοντα ἀδεῶς τῇ κακίᾳ, ταῖς εὐχαῖς σου τούτῳ, οἰκείωσόν με Πάτερ.

Ἀπεγνωσμένον με ὄντα μὴ ὑπερίδῃς, τοῦ Χριστοῦ μιμητὰ θεῖε Σάββα, ἀλλ᾽ ἀντιλαβοῦ μου, ταχὺ τὸν σὸν ἱκέτην.

*Θεοτοκίον.*

Ναὸν τοῦ σώματος οἴμοι κατασπιλώσας, ἐργασίαις αἰσχραῖς Παναγία, ἡ καθαρωτάτη, σὺ ἀποκάθαρόν με.

*Ὠιδὴ Θ' Κυρίως Θεοτόκον.*

Ἱλέωσόν μοι Σάββα, τὸν Χριστὸν εὐχαῖς σου, ὃν ἐκ παιδὸς παρεπίκρανα ὅσιε, ταῖς παναισχίστοις μου πράξεσιν ὁ ἀσύνετος.

Σοὶ Πάτερ καταφεύγω, τοῦ τυχεῖν πταισμάτων, τῶν ἀμερτήτων μου λύσιν δεόμενος, Σάββα ὁσίων τὸ ἐγκαλλώπισμα.

Ξηράν μου τὴν καρδίαν ὅσιε ὡς οὖσαν, τῆς κατανύξεως δάκρυσιν ἄρδευσον, ταῖς θεοδέκτοις εὐχαῖς σου, Σάββα μακάριε.

*Θεοτοκίον.*

Μητέρα σε τοῦ Ἄθω, προσφωνοῦσα πᾶσα, τῶν μοναστῶν ἡ χορεία, Μῆτερ Θεοῦ, κἀγὼ Μητέρα σε κράζων, ἵλεως ἔσομαι.

*Προσόμοια.*

*Ὢ τοῦ παραδόξου θαύματος. Ἦχος πλ.δ΄.*

Σάββα θεόφρον ὡς γνήσιος, δοῦλος Χριστοῦ τοῦ Θεοῦ, τῷ σῷ δούλῳ προστρέχοντι, σοὶ πιστῶς ἐπίσκεψαι, καὶ νοσοῦντί με ἴασαι, τὰς ἀλγηδόνας Πάτερ τοῦ σώματος, τάχει ἐξαίρων καὶ τῶν κακώσεων, τὴν παναθλίαν μου, καὶ οἰκτρὰν ψυχήν μου ἀπελευθερῶν, ταῖς ἀόκνοις ὅσιε, θείαις πρεσβείαις σου.

Πίστει προστρέχοντα ὅσιε, τῇ ἀντιλήψει τῇ σῇ, τὸν ἱκέτην σου ἔπιδε, τὸν κατατρυχόμενον, νόσοις πλείστοις τοῦ

σώματος, καὶ εὐμενῶς μοι τὴν σὴν βοήθειαν, ὄρεξον Πάτερ καὶ ταῖς πρεσβείαις σου τάχει με ἴασαι, καὶ ψυχῆς τῶν νόσων ὡς θεραπευτής, καὶ ταύτην ἀπάλλαξον, ὀδυνωμένην δεινῶς.

Ἔρημον ξηρὰν καὶ ἄνικμον, οἰκήσας Πάτερ τοῖς σοῖς, τῶν δακρύων προχεύμασι, καρποφόρον ἔδειξας, καὶ Χριστῷ προσενήνοχας, τῶν θείων πόνων σου τὰ γεώργια, ψυχὰς ἀξίας, Σάββα τρισόλβιε, καὶ νῦν τὸν δοῦλόν σου, τὸν θερμῶς δεόμενόν σε μοχθηρᾶς, ἐξ ὁδοῦ ἀπόστρεψον ταῖς ἱκεσίαις σου.

Σοὶ τῇ τοῦ Θεοῦ καὶ Πλάστου μου, ὑπερενδόξῳ Μητρί, καταφεύγω ὁ δείλαιος, τοῦ τυχεῖν ἐλέους σου, τοῦ ἀφάτου ῥανίδος σεμνή, μή με βδελύξῃ ὅθεν τὸν αἴσχιστον, τὸν ῥυπωθέντα με ἡ πανάσπιλος, ἀλλ’ ὡς τὸν ἄσωτον, τὸν καὶ τούτου χείρονα δέξαι κἀμέ, μιμουμένη Ἄχραντε, τὸν σὸν Υἱὸν καὶ Θεόν.